# LEONIDAS TARENTINUS

## A. *ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ*

### I

εὐθύσανον ζώνην τοι ὁμοῦ καὶ τόνδε κύπασσιν
Ἀτθὶς παρθενίων θῆκεν ὕπερθε θυρῶν,
ἐκ τόκου, ὦ Λητωί, βαρυνομένης ὅτι νηδύν
ζωὸν ἀπ᾽ ὠδίνων λύσαο τῆσδε βρέφος.

### II

τὸν ἀργυροῦν Ἔρωτα καὶ περίσφυρον
πέζαν τὸ πορφυρεῦν τε Λεσβίδος κόμης
ἕλιγμα καὶ μηλοῦχον ὑαλόχροα,
τὸ χάλκεόν τ᾽ ἔσοπτρον ἠδὲ τὸν πλατύν
τριχῶν σαγηνευτῆρα, πύξινον κτένα,
ὧν ἤθελεν τυχοῦσα, γνησία Κύπρι,
ἐν σαῖς τίθησι Καλλίκλεια παστάσιν.

### III

αὔλια καὶ Νυμφέων ἱερὸς πάγος, αἵ θ᾽ ὑπὸ πέτρῃ
πίδακες, ἥ θ᾽ ὕδασιν γειτονέουσα πίτυς,
καὶ σύ, τετραγλώχιν μηλοσσόε Μαιάδος Ἑρμᾶ,
ὅς τε τὸν αἰγιβότην, Πάν, κατέχεις σκόπελον,
ἵλαοι τὰ ψαιστὰ τό τε σκύφος ἔμπλεον οἴνης
δέξασθ᾽, Αἰακίδεω δῶρα Νεοπτολέμου.